# ΠΟΙΗΜΑΤΙΏΝ ἸΑΤΡΙΚΩ͂Ν

## Δ.

### Ἢ ΠΕΡΙΟΡΙΣΜΟ͂Σ ΤΗ͂Σ ΦΛΕΒΟΤΟΜΙ͂ΑΣ ἘΝ τοῖς ὀξέσι νοσήμασι.

Α. Πλεῖστοι μὲν εἰσι τῶν Ἰατρῶν, οἳ φλέβα
τέμνειν κατ' ἀρχὰς ὀξέων νοσημάτων
κρίνουσιν· ἡγοῦνται γὰρ ὡς τούτου δίχα
οὐκ ἔστ' ἀκεῖσθαι πώποτ' ὀξεῖαν νόσον,
καὶ ταῦτ' ἐπειδὰν φλεγμονὴ παρῇ θ' ἅμα.
ἐμοὶ δοκεῖ δὲ δεῖν περικλείειν ὅροις
ἐν ταῖς δε ταῖς νόσοισι τὴν φλεβὸς σχάσιν,
πεπεισμένῳ πείρᾳ τε συχνῇ καὶ λόγῳ
μὴ δεῖν ποθ' ἁπλῶς κἀκρίτως τέμνειν φλέβα,
ἐσκεμμένως δὲ τόνδ' ἀκεσμὸν λαμβάνειν
ἡρῷον ὄντα, καὶ νοσούντων ὡς ἔνι
ἐπ' ὠφελείᾳ, μηδαμῶς δ' ἐπὶ βλάβῃ·
δείκνυσι μὲν γὰρ ἐμφανέσταθ' ἡ φύσις
σφυγμῶν τε σωμάτων τε καὶ νοσημάτων
τόνδ' ἔνθα που χρὴ κ' ἔνθα μὴ χρὴ λαμβάνειν,
τὴν τοῦδε χρῆσιν εὖ περιστέλλουσ' ὅροις,
οὓς μὴ παρεκβαίνων μὲν ὠφέλησέ τις,
δρῶν τοὔμπαλιν δὲ πημονὴν ἤνεγκέ που,
ἐν τοῖς ἐφεξῆς ὡς σαφῶς δειχθήσεται.

Με-